σθέσει τȣ̃ ο, ποῖος, ὁποῖος, πότερος, ὁπότερος.

§. σλϛ΄. Τριγενῆ δὲ ϗ τὰ Ἀνταποδοτικὰ, ϗ Ἀναφορικὰ, ϗ ἢ κατὰ τὸ ποιὸν, ἢ κατὰ τὸ ποσὸν λαμβανόμενα, τοιȣ̃τος, οἷος, τηλικȣ̃τον, ἡλίκον, τόσον, ὅσον.

§. σλζ΄. Τὰ δὲ Περιληπτικὰ, ἤτȣν συσηματικὰ, μονογενῆ, δῆμος, πλῆθος.

§. σλή. Τὰ γεμὴν ἐπιμεριζόμενα, τριγενῆ. ἕτερος, ἑτέρα, ἕτερον. ἄλλος, ἄλλη, ἄλλο. τετραχῶς δὲ τὰ ἐπιμεριζόμενα· ἢ γὰρ ἓν ἐκ δυοῖν, οἷον, τὸ ἕτερον. ἢ δύο καθ᾿ ἕν. οἷον τὸ ἑκάτερον· ἢ ἓν ἐκ πολλῶν, οἷον τὸ ἄλλο ἢ πολλὰ καθ᾿ ἓν, οἷον, τὸ ἕκασον.

§. σλθ΄. Τριγενῆ δὲ ϗ τὰ μετȣσιασικὰ. λίθινος, λιθίνη, λίθινον· ταυτὶ δὲ ϗ ἀπὸ μόνων τῶν ὁμοιομερῶν σχηματίζεται· ξύλον γὰρ, ϗ ὀςȣ̃ν, ϗ σὰρξ, τῶν ὁμοιομερῶν. ὅθεν τὸ ξύλινον, ϗ ὀςέϊνον, ϗ σάρκινον. ὡσαύτως δὲ ϗ ἐπὶ τῶν ἄλλων. εἰς δύο δὲ μάλισα καταλήξεις ἀναμερίζεται· ἤτοι γὰρ εἰς ινον, πήλινον· ἢ εἰς ωδες, πηλῶδες, γεῶδες. τῶν γεμὴν ἐκ μετάλλων, ἰδία κατάληξις εἰς εον, ϗ ȣν, κατὰ συναίρεσιν. χρυσέον, ȣ̃ν. σιδήρεον, ȣ̃ν. χάλκεον, ȣ̃ν. ἀργύρεον, ȣ̃ν. οἷς ϗ τὸ κεραμȣ̃ν ἠκολȣ́θησε.

§. σμ΄. Τὰ δὲ Ἐθνικὰ, διγενῆ ἐσι. Κρὴς, Κρῆσσα Φοίνιξ, Φοίνισσα. Θρᾷξ, Θρᾷσσα. Ἕλλην, Ἑλληνίς. Σκύθης, Σκυθίς.

Περὶ τῶν κατὰ Φωνὴν εἰδῶν τȣ̃ Ὀνόματος. ἤτȣν περὶ τῶν τȣ̃ Παραγώγȣ Εἰδῶν.

§. σμά. Τῶν δὲ παρεπομένων τῷ ὀνόματι τὸ εἶδος,